τύχωσι. ἔπειτα δὲ καὶ ὡς τὸ πλάτος τῆς ☾ ἀνέμια προσνένευκε κατὰ τὴν λόξωσιν τοῦ διὰ μέσων, ὅπως ἐξ ἁπάντων τούτων κατὰ τὴν ἐπικράτησιν τὰ ὡς ἐπίπαν τῶν μηνῶν καταστήματα καὶ πνεύματα προγινώσκωμεν. τρίτη δ' ἐστὶ τὸ τὰς ἔτι λεπτομερεστέρας ἐπισημασίας ἀνέσεων καὶ ἐπιτάσεων παρατηρεῖν. θεωρεῖται δὲ καὶ τοῦτο, διά τε τῶν κατὰ μέρος τοῦ ☉ καὶ τῆς ☾ σχηματισμῶν, οὐ μόνον τῶν συνοδικῶν ἢ πανσεληνιῶν, ἀλλὰ καὶ τῶν κατὰ τὰς διχοτόμους, καταρχομένης ὡς ἐπίπαν τῆς κατὰ τὴν ἐπισημασίαν ἀλλοιώσεως, πρὸ τριῶν ἡμερῶν, ἐνίοτε δὲ καὶ μετὰ τρεῖς, τῆς ἰσοσταθμοῦς. πρὸς τὸν ☉ ἐπιπορεύσεως, καὶ διὰ τοῦ καθ' ἕκαστον τούτων στάσεων, ἢ καὶ τῶν ἄλλων, δι' τριγώνων καὶ ἑξαγώνων, καὶ πρὸς τοὺς πλανήτας συσχηματισμοῦ. τούτων γὰρ ἀκολούθως τῇ φύσει καὶ ἡ τῆς ἀλλοιώσεως ἰδιοτροπία καταλαμβάνεται συμφώνως ταῖς τῶν ἐπιθεωρούντων ἀστέρων καὶ ταῖς τῶν ζῳδίων πρός τε τὸ περιέχον καὶ τοὺς ἀνέμους φυσικαῖς συνοικειώσεσιν, αὐτῶν δὲ τούτων τῶν κατὰ μέρος ποιοτήτων, αἱ καθ' ἡμέραν ἐπιτάσεις ἢ ἀνέσεις ἐπιτελοῦνται, μάλιστα μὲν ὅταν τῶν ἀπλανῶν οἱ λαμπρότεροι καὶ δραστικώτεροι φάσεις ἑῴας ἢ ἑσπερίας, ἀνατολικὰς ἢ δυτικὰς ποιῶνται πρὸς τὸν ☉. φέρουσι γὰρ ὡς ἐπὶ πολὺ τὰς κατὰ μέρος καταστάσεις πρὸς τὰς ἑαυτῶν φύσεις, οὐδὲν δὲ ἔλαττον καὶ ὅταν τινὶ τῶν κέντρων τὰ φῶτα ἐπιπορεύηται. πρὸς γοῦν τὰς τοιαύτας αὐτῶν σχέσεις, αἱ καθ' ὥραν ἀνέσεις καὶ ἐπιτάσεις τῶν καταστημάτων μεταβάλλουσι, καθάπερ πρὸς τὰς τῆς ☾ αἵ τε ἀμπώτεις καὶ παλίρροιαι. καὶ αἱ τῶν πνευμάτων δὲ τροπαὶ καὶ μάλιστα περὶ τὰς τοιαύτας τῶν φώτων κεντρώσεις ἀποτελοῦνται, πρὸς οὓς ἂν τῶν ἀνέμων ἐπὶ τὰ αὐτὰ τὸ πλάτος τῆς ☾ τὰς προσνεύσεις ποιουμένης καταλαμβάνηται. πανταχοῦ μέντοι προσήκει διαλαμβάνειν, ὡς προηγουμένης μὲν τῆς καθόλου καὶ πρώτης ὑποκειμένης αἰτίας, ἑπομένης δὲ τῆς τῶν κατὰ μέρος ἐπισυμβαινόντων, βεβαιουμένης δὲ μάλιστα καὶ ἰσχυροποιουμένης τῆς ἐνεργείας, ὅταν οἱ τῶν καθόλου φύσεων οἰκοδεσποτήσαντες ἀστέρες καὶ ταῖς ἐπὶ μέρους τύχωσι συσχηματιζόμενοι.

## Περὶ τῆς τῶν μετεώρων σημειώσεως.

Χρήσιμοι δ' ἂν εἶεν πρὸς τὰς τῶν κατὰ μέρος ἐπισημασιῶν προγνώσεις καὶ αἱ τῶν γινομένων σημείων περί τε τὸν ☉ καὶ τὴν ☾.

καὶ τοὺς